Ἔστω ἔνοπτρον ἐπίπεδον τὸ γδ, ὄμμα δὲ τὸ β, ὁρώμενον δὲ τὸ α. καὶ ἔστω κάθετος ἡ ἀπὸ τοῦ ὁρωμένου ἐπὶ τὸ ἔνοπτρον ἡ αγ. οὐκοῦν ἐπεὶ ὑπόκειται ἐν τοῖς ὅροις ὅτι καταληφθέντος τοῦ τόπου τοῦ γ, οὐχ ὁρᾶται τὸ α. ὀφθήσεται ἄρα ἐπ' εὐθείας τῇ δγ. ἀλλὰ καὶ ἐπ' εὐθείας τῇ β α ὄψει κα



Decimasexta.

Quæuis res, quæ uidetur in speculis planis: uidebitur per eam quæ à re uisa ducitur rectā perpendicularē.

Sit speculum planum γδ, oculus uero β, res quę uidenda est α: sitq́ αγ perpendicularis à re uisa ad speculū ducta. Quoniam igitur in definitionibus propositū fuit pro certo, quod loco γ occupato, non uideatur α. uidebitur igitur secundum lineam rectam æqueiacentē δγ, sed & α æqueiacet secundum lineam rectā uisui βα, quod est ad ε. Illud enim

τὰ τὸ ε, ὑπόκειται γὰρ ἡμῖν εὐθὺ εἶν ὃ μέσον τοῖς ἄκροις ἐπιπροσθεῖ. ὥστε εὐθεῖαι ἴσαι ἡ β ε, καὶ ἡ δ ε.

pro minime dubio positũ fuit in definitionibus rectũ esse cuius mediũ extremis conuenit & ex ęquo interpositum est. Quare β ε, & δ ε, sunt rectæ.

ιζ.


Ἐν τοῖς κυρτοῖς ἐνόπτροις, ἕκαστον τῶν ὁρωμένων, κατὰ τὴν ἀπὸ τοῦ ὁρωμένου, εἰς τὸ κέντρον τῆς σφαίρας ἀγομένην εὐθεῖαν ὁρᾶται.

Ἔστω κυρτὸν ἔνοπτρον τὸ γ δ, ὄμμα δὲ τὸ β, ὄψις δὲ ἡ β δ, ἀνακλωμένη ἐπὶ τὸ α. καὶ ὁράσθω τὸ α ε, κέντρον δὲ τῆς σφαίρας ἔστω τὸ ζ. ἐπεζεύχθω ἡ α ζ, καὶ ἐκβεβλήσθω ἡ β δ ὄψις ἐπὶ τὸ ε. ἐπεὶ οὖν ὑπόκειται ἐν τοῖς ὅροις ὅτι καταληφθέντος τοῦ γ, οὐχ ὁρᾶται τὸ α. ὀφθήσεται ἄρα ἐπ' εὐθείας τῇ α ε, κατὰ τὴν σύμβασιν τῆς β δ ὄψεως, καὶ τῆς α ε. ἤτοι ἐπὶ τοῦ ε: καθάπερ ἐν τοῖς ἐπιπέδοις.

Decimaseptima.

Vna quæque res, quæ uidetur in speculis conuexis: per lineam uidebitur rectam, quæ à re uisa ad centrũ sphæræ ducitur.

Sit speculum conuexum γ δ, oculus β, uisus β δ, reflexũ mittens ad α: & uideatur α ε, centrum sphæræ sit ζ, & fiat per coniunctionem punctorũ α ζ, linea recta α ζ, atque uisus β δ, extẽdatur ad ε. Quoniã igitur pro affirmato habetur in definitionibus: quod occupato loco γ, non uideatur α. uidebitur ergo secundum rectam lineam æque iacẽtem rectæ α ε: in cõgressu β δ uisus, & α ε rectę: aut apud ε, sicuti in planis speculis.



ιη.


Ἐν τοῖς κοίλοις ἐνόπτροις, ἕκαστον τῶν ὁρωμένων κατὰ τὴν ἀπὸ τοῦ ὁρωμένου εἰς τὸ κέντρον τῆς σφαίρας ἀγομένην εὐθεῖαν ὁρᾶται.

Ἔστω κοῖλον ἔνοπτρον τὸ γ δ, ὄμμα δὲ τὸ β, ὄψις δὲ ἀνακλωμένη ἡ β γ, ἐπὶ τὸ α ὁρώμενον: τῆς δὲ σφαί

Decimaoctaua.

Quęuis res, quę uidetur in speculis concauis: uidebitur per lineam rectã quæ à re uisa in centrum sphæræ ducitur.

Sit speculum concauum γ δ, oculus uero β, uisus reflexionem faciens β γ, ad rem α, quæ uidetur: sphęræ autem centrũ sit ε. & à puncto α ad



ρας κέντρον ἴσω τὸ ε, καὶ ἀπὸ τοῦ α, ἐπὶ τὸ ε ἐπιζεύχθω εὐθεῖα, ἡ αε, καὶ ἐκβεβλήσθω. οὐκοῦν ἐπεὶ ὑπέκειτο ἐν τοῖς ὅροις ὅτι καταληφθέντος τοῦ τόπου τοῦ δ, τὸ α οὐχ ὁρᾶται. ὥστε φαίνεται ἐπ᾽ εὐθείας τοῖς αε. ὀφθήσεται ἄρα κατὰ τὴν συμβολὴν τῆς αδ εὐθείας, καὶ τῆς βγ ὄψεως, ἤτοι κατὰ τὸ ζ.

ιθ.

Ἐν τοῖς ἐπιπέδοις ἐνόπτροις, τὰ δεξιὰ ἀριστερὰ φαίνεται, καὶ τὰ ἀριστερὰ δεξιά, καὶ τὸ εἴδωλον ἴσον τῷ ὁρωμένῳ, καὶ τὸ ἀπόστημα ὃ ἀπέχει τὸ ὁρώμενον.

Ἔστω ἐπίπεδον ἔνοπτρον τὸ αγ, ὄμμα δὲ τὸ β, ὄψεις δὲ αἱ βα, βγ, ἀνακλώμεναι ἐπὶ τὰ ε, δ: καὶ ἀπὸ τῶν ε, δ ἐπὶ τὸ ἔνοπτρον κάθετοι ἤχθωσαν αἱ εζ, δθ: καὶ ἐκβεβλήσθωσαν δὲ καὶ αἱ βγ, βα ὄψεις, καὶ συμπιπτέτωσαν ταῖς δλ, εκ καθέτοις, κατὰ τὰ κ, λ: καὶ ἐπεζεύχθω ἡ λκ. οὐκοῦν φαίνεται τὸ μὲν ε, ἐπὶ τοῦ κ: τὸ δὲ δ, ἐπὶ τοῦ λ. τοῦτο γὰρ προεδείχθη. τὰ ἄρα ἀριστερὰ δεξιὰ φαίνεται, καὶ τὰ δεξιὰ ἀριστερά. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ γκζ γωνία, τῇ ὑπὸ ζγε. καὶ εἰσὶν ὀρθαὶ αἱ πρὸς τῷ ζ. ἴση ἄρα ἐστὶ καὶ ἡ ζκ, τῇ ζε. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ δθ, τῇ θλ:

α ad punctum ε ducatur recta αε, et in infinitum extendatur. Quoniam igitur in definitionibus pro minime dubio habebatur quod occupato loco δ, α non uideatur: uidebitur ergo ſecundum rectam æqueiacentem rectæ αε. Quare uidebitur ad congreſſum αδ rectæ lineæ, & βγ uiſus: aut ad ζ.

Decimanona.

In ſpeculis planis dextera uidētur ſiniſtra, ſiniſtra dextera: & imago apparet æqualis rei uiſæ: ipſaq; diſtantia qua res uiſa diſtat à ſpeculo: eodem modo æqualis diſtantiæ qua imago diſtat.

Sit ſpeculum planum αγ, oculus uero β, uiſus autem βα, βγ: reflectentes ad ε, δ, & ab ε, δ, ad ſpeculum ducantur εζ, δθ, perpendiculares: extendantur uero etiam βγ, βα uiſus, atq; concurrant cum lineis δλ, εκ perpendicularibus: in punctis κ, λ: & coniungātur λ, κ pūcta, et fiat recta λκ. Quare ε, apparebit in κ. δ uero, in λ. Illud namq; ante demonſtratum eſt. ſiniſtra igitur apparent dextera, dextera uero ſiniſtra. Præterea quoniam γκζ angulus, angulo ζγε eſt æqualis: et anguli ad ζ, ſunt recti. ζκ igitur æqualis erit ζε. ſimili ra-

ἴσον ἄρα τὸ ἀπόστημα ὃ ἀπέχει ἀπὸ τοῦ ἐνόπτρου τὸ ε δ, τῷ ᾧ ἀπέχει τὸ εἴδωλον τὸ κ λ: καὶ ἴσον τὸ ὁρώμενον τὸ ε δ, τῷ εἰδώλῳ τῷ κ λ. διὰ τὸ ἴσην εἶναι τὴν μὲν ε ζ, τῇ ζ κ: τὴν δὲ θ δ, τῇ θ λ. κοινὴν δὲ καὶ πρὸς ὀρθὰς τὴν θ ζ.

κ.

Ἐν τοῖς κυρτοῖς ἐνόπτροις τὰ ἀριστερὰ δεξιὰ φαίνεται, καὶ τὰ δεξιὰ ἀριστερά: καὶ τὸ ἀπόστημα, ὃ ἀπέχει τὸ εἴδωλον ἀπὸ τοῦ ἐνόπτρου, ἔλασσόν ἐστι τοῦ ἀποστήματος ὃ ἀπέχει τὸ ὁρώμενον: καὶ τὸ εἴδωλον ἔλασσόν ἐστι τοῦ ὁρωμένου.

Ἔστω ἔνοπτρον κυρτὸν τὸ α γ, κέντρον δὲ τῆς σφαίρας τὸ θ, ὄμμα δὲ τὸ β. ὁρώμενον δὲ τὸ δ ε. ὄψεις δὲ αἱ β γ, β α, ἀνακλώμεναι ἐπὶ τὰ δ, ε: καὶ ἀπὸ τοῦ θ κέντρου ἤχθωσαν ἐπὶ τὰ δ, ε, αἱ θ δ, θ ε: καὶ ἐκβεβλήσθωσαν αἱ β γ, β α ὄψεις, ἐπὶ τὰ κ ζ: καὶ ἐπεζεύχθω τὸ ζ κ εἴδωλον. οὐκοῦν τὸ μὲν δ, φαίνεται ἐπὶ τοῦ κ: τὸ δὲ ε, ἐπὶ τοῦ ζ. τὰ ἄρα δεξιὰ ἀριστερὰ φαίνεται, καὶ τὰ ἀριστερὰ δεξιά. λέγω δὴ ὅτι μείζων ἐστὶν ἡ ε λ, τῆς λ ζ. ἤχθω γὰρ διὰ τοῦ α ἐφαπτομένη τῆς σφαίρας ἡ ρ α κ. ἐπεὶ οὖν αἱ β α, α ε, πρὸς τῇ περιφερείᾳ ἴσας γωνίας ποιοῦσι: διὰ τὴν ἀνάκλασιν: ἐφάπτεται

δὲ

tione demōstrabitur per eadē, quod δθ, sit ęqualis θλ. distātia igitur qua εδ distat ab speculo: æqualis est distantiæ qua distat imago κλ, & res uisa εδ æqualis est imagini κλ. quia εζ, æqualis est ζκ. θδ uero ęqualis θλ. cōmunis autem & ad angulos rectos ipsa θζ.

Vigesima.

In speculis conuexis sinistra apparent dextera: & dextra sinistra: & distātia qua imago distat à speculo: minor est distantia qua res uisa distat: et imago minor est re uisa.

Sit speculum conuexum αγ, cētrū autem sphæræ sit θ. oculus uero β, res uisa δε, uisus βγ, βα. reflectentes ad δ, ε & à centro θ, ad δ, ε puncta ducantur θδ, θε, rectæ. & uisus βγ, βα extendantur ad κ, ζ & coniungatur ζκ imago. Quare δ, apparet ad κ, ε autem, ad ζ. dextra igitur apparent sinistra, & sinistra dextra. Dico pręterea ελ, maiorem esse λζ. Ducatur enim per punctum α, linea recta tangens spheram: & sit ραx. Quoniam igitur βα, αε ad circumferentiam, æquales angulos faciunt propter reflexum.

contin=

δὲ ἡ κ α ϱ· δίχα ἂν εἴη τετμημένη ἡ ὑπὸ ε α ζ γωνία, ὑπὸ τῆς κ α εὐθείας. ἀμβλεῖα δὲ ἡ ὑπὸ ε κ α· ὀξεῖα δὲ ἡ ὑπὸ α κ ζ. μείζων ἄρα ἡ ε κ, τῆς κ ζ. πολλῷ ἄρα μείζων ἡ ε λ, τῆς λ ξ. ἔλασσον ἄρα ἀπέχει τὸ εἴδωλον τὸ ζ κ, ἀπὸ τοῦ ἐνόπτρου, ἤπερ τὸ ε δ ὁρώμενον.

Καὶ ὁμοίως δειχθήσεται, ὅτι καὶ τὸ δ ὁρώμενον· μεῖζόν ἐστι τοῦ κ ζ εἰδώλου.

Ἔστω γὰρ κυρτὸν ἔνοπτρον τὸ α ο γ· ὄμμα δὲ τὸ β· ὄψεις δὲ ἀνακλώμεναι αἱ β γ, β α, ἐπὶ τὰ δ, ε. οὐκοῦν ἀπὸ τοῦ κυρτοῦ ἐνόπτρου τοῦ α ο γ· θεωρεῖται τὸ ε δ, ἐν γωνίᾳ τῇ ὑπὸ α β γ. προσκείσθω δὲ ἔνοπτρον ἐπίπεδον τὸ α γ· ἁπτόμενον τῶν ὄψεων κατὰ τὰ α, γ. οὐκοῦν ἡ ὄψις, μέλλουσα ἰδεῖν ἀπὸ τοῦ ἐπιπέδου ἐνόπτρου· οὐκ ἔσται ἡ αὐτὴ τῇ β α ε. οὐ γὰρ ποιεῖ γωνίας ἴσας πρὸς τῷ ἐπιπέδῳ ἐνόπτρῳ. οὐδὲ μὴν κλασθήσεται μεταξὺ τῶν α, γ. κείσθω γὰρ εἰ δυνατόν, καὶ ἔστω ἡ β ζ ε ὄψις· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ β ζ γ γωνία, τῇ ὑπὸ β ζ α γωνίᾳ, διὰ τὴν ἀνάκλασιν. ἡ δὲ ὑπὸ

contingit autem κ α ϱ. Angulus igitur ε α ζ, per rectam κ α, in duas partes æquales sectus erit. angulus autē ε κ α, est obliquus, α κ ζ uero acutus: quare recta ε κ, recta κ ζ maior est. multo maior ergo est ε λ, quā sit λ ζ. Minori distātia igitur distat imago ζ κ à speculo: quam ε δ res uisa.

Similiter demonstrabitur quod δ res uisa: maior sit κ ζ imagine.

Sit enim conuexum speculū α ο γ, oculus uero β, uisus reflectentes β γ, β α, ad δ, ε. In speculo igitur conuexo α ο γ, ε δ apparet in angulo α β γ. apponatur speculum planū α γ quod cōiungat uisus ipsos in pūctis α, γ. Itaq; uisus qui ex speculo plano conspicit rē: idē erit cum β α ε quia non facit ad speculum planum angulos æquales. neq; etiam reflexionem mittit intra α, γ. Ponatur enim si fieri potest & sit β ζ ε uisus. Angulus igitur β ζ γ angulo β ζ α est æqualis propter reflexum, sed angulus β ζ γ, maior est angulo β α ζ, quod est impossibile. Quare extra α reflectio fiet, sit reflectio β κ ε. si-

D

β ζ γ γωνία, μείζων ἐστὶ τῆς ὑπὸ β α ζ. ὅπερ ἐστὶν ἀδύνατον. ἐκτὸς ἄρα ἀνακλασθήσεται τοῦ α. κεκλάσθω, καὶ ἔστω ἡ β κ ε. ὁμοίως δὲ καὶ ἡ β λ δ ἐκτὸς πεσεῖται τοῦ γ, τὸ ἄρα ε δ, ὑπὸ μείζον⊗ γωνίας θεωρεῖται ἀπὸ τοῦ ἐπιπέδου ἐνόπτρου, ἤπερ ἀπὸ τοῦ κυρτοῦ. μείζων γὰρ ἡ ὑπὸ κ β λ, τῆς ὑπὸ α β γ. καὶ φανερὸν ὅτι ὑπὸ τοῦ κυρτοῦ ἐνόπτρου τὸ εἴδωλον ἔλαττον φαίνεται τοῦ ὁρωμένου.

κα.

Ἐν τοῖς κυρτοῖς ἐνόπτροις ἀπὸ τῶν ἐλασσόνων ἐνόπτρων, ἐλάσσονα φαίνεται τὰ εἴδωλα.

Ἔστω σφαῖρα μείζων μὲν ἡ α γ, ἐλάσσων δὲ ἡ ε λ περὶ τὸ αὐτὸ κέντρον τὸ θ. ὄμμα δὲ τὸ β. καὶ ἐπεζεύχθω ἡ β α θ, καὶ ἀπὸ τῆς α γ σφαίρας ἀνακεκλάσθω ὄψις ἡ β γ δ. λέγω ὅτι ἡ ἀνακλωμένη ὄψις, ἀπὸ τῆς λ ε σφαίρας ἐπὶ τὸ δ, οὔτε ἐπὶ τὸ γ πεσεῖται, οὔτε ἐκτὸς τοῦ γ. πιπτέτω γὰρ πρότερον εἰ δυνατὸν ἐπὶ τὸ γ, καὶ ἀνακεκλάσθω ἀπὸ τῆς ε λ σφαίρας ἐπὶ τὸ δ: ἔστω ἡ β ε δ: καὶ ἐπιζευχθεῖσα ἡ β γ, ἐκβεβλήσθω ἐπὶ τὸ

militer β λ δ, extra γ cadet. Quare ε δ, sub maiori angulo conspicitur in speculo plano, quam in speculo cõuexo. Nam κ β λ angulus, maior est quam sit α β γ angulus. Manifestum igitur quod in speculo conuexo imago minor uidetur re ipsa uisa.

Vicesima prima.


Sint specula conuexa aliqua proposita: in minoribus, minores conspicientur imagines.

Sit maior sphæra α γ, minor uero ε λ ad idem centrum θ, oculus uero β. & per coniunctionem punctorũ fiat recta β α θ & ex sphæra α γ, uisus β γ δ reflectatur. Dico quod, uisus reflexus ab λ ε sphęra, in δ; neque in γ cadet, neq; extra γ. cadat enim si fieri potest primum in γ, & reflexio fiat à ε λ sphæra in δ. & sit β ε δ. quod si per coniunctionem punctorum fiat recta β γ, & extendatur ad punctum κ. tum θ κ γ, secabit angulũ β γ δ in duas partes æquales. Quia β γ δ uisus propter reflexum æquales facit angulos ad circumferentiam. Per eadem etiam demõstrabitur, quod recta

quæ

ε. δίχα δὴ τεμεῖ ἡ θγκ, τὴν ὑπὸ βγδ γωνίαν. διὰ τὸ τὴν βγδ ὄψιν ἴσας ποιεῖν γωνίας πρὸς τῇ περιφερείᾳ διὰ τὴν ἀνάκλασιν. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ἀπὸ τοῦ θ, ἐπὶ τὸ ε ἐπιζευγνυμένη εὐθεῖα, καὶ ἐκβαλλομένη: δίχα τεμεῖ τὴν ὑπὸ βεδ. τεμνέτω καὶ ἔστω ἡ θεζ. καὶ ἐπεὶ μείζων ἐστὶν ἡ ὑπὸ βγδ γωνία, τῆς ὑπὸ βεδ: καὶ ἡ ἡμισεία καὶ ὑπὸ βγκ, τῆς ἡμισείας τῆς ὑπὸ βεζ, μείζων ἐστίν. ἔστι δὲ καὶ ἔλασσον, ὅπερ ἀδύνατον. οὐκ ἄρα ἥξει διὰ τῆς ελ σφαίρας.

Ὑποκείσθω δὴ πάλιν τὰ αὐτά, καὶ ἡ ἀπὸ τῆς ελ σφαίρας ἀνακλωμένη ὄψις ἡ βεδ, ἐκτὸς πιπτέτω τοῦ γ, καὶ τεμνέτω ἡ βε τὴν αγ σφαῖραν κατὰ τὸ ν. ἡ δὴ ἀπὸ τοῦ ν ἀνακλωμένη ὄψις ἡ βνξ οὐ συμπεσοῦται τῇ γδ, τοῦτο γὰρ δέδεικται. ἡ ἄρα εδ ἀνακλωμένη ὄψις ἀπὸ τοῦ μείζονος κατόπτρου, ὁρᾷ τὸ ξ: καὶ ἡ βεξ ἀνακλωμένη ἀπὸ τοῦ ἐλάττονος ἐνόπτρου, ὁρᾷ τὸ αὐτὸ ξ. τοῦτο δὲ ἀνωτέρω ἐδείχθη ἀδύνατον. μεταξὺ ἄρα πεσεῖται τοῦ γ, α ἡ ἀνακλωμένη ὄψις, ἀπὸ τοῦ ἐλάσσονος κατόπτρου ἐπὶ τὸ




quæ à θ, in ε coniuncta fuerit, & extensa: angulum βεδ in duas secet æquales partes. secet, & sit θεζ. Quoniam angulus βγδ maior est angulo βεδ, & dimidius βγκ, dimidio βεζ maior erit. uerum & eo minor dicitur esse. quod fieri nequit. Quare non transibit per ελ sphæram.

Eadem rursus sint proposita & uisus βεδ, ex ελ sphæra reflectens extra γ cadat: & βε, secet sphæram αγ, in puncto ν, uisus igitur βνξ, reflexus ex puncto ν non concurret cũ γδ. Illud enim iam est demonstratũ. Quare εδ uisus reflexus ex maiore speculo uidet ξ, & βεξ ex minori speculo reflectens idem ξ uidet. hoc uero ut antea demonstratum est fieri non potest. Quare uisus, qui à minore speculo in δ punctum reflectitur: intra γα cadet. similiter demonstrabitur ex

δ. ὁμοίως δὲ δειχθήσεται καὶ ἀπὸ τοῦ ἑτέρου μέρους τὸ αὐτὸ ποιοῦσα, ὑπὸ ἐλάσσονος κατόπτρου, ἤπερ ἀπὸ τοῦ μείζονος. ἔλασσον ἄρα φαίνεται τὸ εἴδωλον ἀπὸ τοῦ ἐλάσσονος κατόπτρου.


altera parte idem facere, á minore potius quam á maiore. Quare imago ex minore speculo minor apparebit.



κβ.

Ἐν τοῖς κυρτοῖς κατόπτροις τὰ εἴδωλα κυρτὰ φαίνεται.

Ἔστω κυρτὸν κάτοπτρον τὸ αγ, ὄμμα δὲ τὸ ε. ὄψεις δὲ ἀνακλώμεναι αἱ εα, εγ ἐπὶ τὰ δ, β, ἡ δὲ ζε ἀνακλωμένη δι' ἑαυτῆς ἐπὶ τὸ ε. οὐκοῦν τῶν ὄψεων, μέγισται μὲν εἰσὶ τῷ μήκει αἱ πορρωτάτω τοῦ μέσου, ἐλάχισται δὲ αἱ κατὰ τὸ μέσον, ὥσπερ ἐνταῦθα. μέγισται μὲν εἰσὶν αἱ δα, βγ. ἐλαχίστη δὲ ἡ εζ. φαίνεται ἄρα τοῦ κατόπτρου ἐγγίον μᾶλλον τὸ ε. πορρωτάτω δὲ τὸ β, καὶ τὸ δ, ὥστε ὅλον κυρτὸν φαίνεται.



Vigesimasecunda.

In speculis cōuexis, imagines quoque apparent conuexæ.

Sit speculum conuexum αγ, oculus uero ε, uisus εα, εγ reflectentes in puncta δ, β. Sed ζε in seipsum reflexum faciat, & pertingat ad ε. Quare maximi ii sunt uisus longitudine qui longissime á medio distant, minimi uero qui ad medium. Vt in hac figura maximi sunt δα, βγ, minimi εζ. Quare ε apparet speculo propius: lōgissime autem distant β, & δ. Quare totum apparet cōuexum.

Vigesima

κγ.

Ἐν τοῖς κοίλοις ἐνόπτροις, ἐὰν ἐπὶ τοῦ κέντρου τὸ ὄμμα τεθῇ· αὐτὸ μόνον φαίνεται τὸ ὄμμα.

Ἔστω κοῖλον ἔνοπτρον τὸ αγδ, κέντρον δὲ αὐτοῦ τὸ β, ὄψεις δὲ αἱ βα, βδ, βγ. οὐκοῦν ἴση ἐστὶν ἡ ε γωνία, τῇ ζ. ἥξει ἄρα ἀνακλωμένη ἡ βγ ὄψις ἐπὶ τὸ β. ὁμοίως δὲ καὶ αἱ βα, βδ ὄψεις, ἐπὶ τὸ β ἥξουσιν. αὐτὸ μόνον ἄρα ὁρᾶται τὸ β.

κδ.

Ἐν τοῖς κοίλοις ἐνόπτροις, ἐὰν ἐπὶ τῆς περιφερείας θῇς τὸ ὄμμα, ἢ ἔξω τῆς περιφερείας· οὐ φαίνεται τὸ ὄμμα.

Ἔστω κοῖλον ἔνοπτρον τὸ αβγ, καὶ τὸ ὄμμα κείσθω ἐπὶ τῆς περιφερείας αὐτοῦ, καὶ ἔστω τὸ β· ὄψεις δὲ προσπιπτέτωσαν αἱ βα, βγ, καὶ ἀνακεκλάσθωσαν, οὐκοῦν μείζων ἐστὶν ἡ μὲν μθ γωνία, τῆς κ· ἡ δὲ λε τῆς ζ. ὥστε οὐκ ἀνακλασθήσονται αἱ βα, βγ, ἐπὶ τὸ ὄμμα. εἰ γὰρ εἰς τὸ ὄμμα ἀνεκλῶντο, ἴσαι ἂν ἐγίνοντο αἱ πρὸς τοῖς α, γ σημείοις γωνίαι. οὐκ εἰσὶ δὲ ἴσαι. οὐδ᾽ ἄρα αἱ βα, βγ ὄψεις, ἐπὶ τὸ β ὄμμα ἀνακλῶνται. δειχθήσεται δὲ καὶ κἂν ἐκτὸς τῆς περιφερείας τεθῇ τὸ ὄμμα, τὰ αὐτὰ συμβαίνοντα· τουτ᾽ ἐστι, τὸ μὴ ὁρᾶσθαι τὸ

Vigeſima tertia.

In ſpeculis concauis, ſi oculus ponatur in centro: oculus ipſe tãtum apparet.

Sit ſpeculum concauum αγδ, centrum uero eius β. uiſus βα, βγ, βδ. Angulus igitur ε, æqualis eſt angulo ζ. Quare βγ uiſus, reflexum faciens tranſibit per β. ſimili modo βα, βδ uiſus, trãſibunt β. Quamobrem β tantum uidebitur.

Propoſitio uigeſima quarta.

In ſpeculis cauis, ſi in circumferentia oculum poſueris aut extra circumferentiam oculus non uidetur.

Sit ſpeculum cauum αβγ, et oculus ponatur in eius circumferentia, & ſit β. uiſus autem βα, βγ, incidant, & reflexionẽ faciant. Quare μθ angulus maior eſt angulo κ. λε uero maior quam ſit ζ. Itaque βα, βγ non facient reflexum ad β oculum. Nam ſi in oculum reflexũ facerent, æquales fierent anguli qui ſunt ad puncta α, γ. Verum nõ ſunt ęquales, ergo uiſus βα, βγ, nõ faciunt reflexum ad oculum β. Eadẽ euenire demonſtrabitur, etiamſi oculus ponatur extra circumferentiam, nempe oculum uideri ab omnibus re

ὄμμα, ὑπὸ πασῶν τῶν ἀνακλωμένων ὄψεων: εἰ μὴ ὑπὸ μόνης τῆς διὰ τοῦ κέντρου ἠγμένης.

κε.

Ἐν τοῖς κοίλοις ἐσόπτροις, ἐὰν ἐκβαλὼν διάμετρον τῆς σφαίρας, ἐκ τοῦ κέντρου πρὸς ὀρθὰς ἀναγάγῃς, καὶ εἰς τὸ ἕτερον μέρος θῇς τὸ ὄμμα, οὐδὲν τῶν ἐν τῷ μέρει ἐν ᾧ τὸ ὄμμα ἐστὶν ὀφθήσεται: τουτέστιν οὔτε τι τῶν ἐπὶ τῆς διαμέτρου, οὔτε τῶν ἐκτὸς τῆς διαμέτρου.

Ἔστω κοῖλον ἔσοπτρον τὸ αγδ, διάμετρος δὲ ἔστω τῆς σφαίρας ἡ αδ, κέντρον δὲ τὸ ζ, καὶ ἀπὸ τοῦ ζ, τῇ αδ πρὸς ὀρθὰς ἀνεστάτω ἡ ζγ. ὄμμα δὲ ἔστω τὸ β, ὄψις δὲ ἡ βε. οὐκοῦν ἡ βε, ἀνακλωμένη οὐχ ἥξει οὔτε ἐπὶ τὸ β, οὔτε ἐπὶ τὸ ζ. ἐν γὰρ ἴσαις γωνίαις ἀνακλᾶται: ἥξει ἄρα ὡς ἡ εθ. ὁμοίως δὲ ἐὰν ἐντὸς τεθῇ τὸ ὄμμα, ὅπου τὸ θ, ἢ ἐπὶ τῆς διαμέτρου, ὅπου τὸ μ, ἀνακλώμεναι αἱ ὄψεις αἱ θκ μν, ἥξουσιν ὡς αἱ κλ, νξ. οὐκ ἄρα ὁρᾶται οὐδὲν τῶν ἐν τῷ αὐτῷ μέρει ὅπου ἐστὶ τὸ ὄμμα, οὔτ' ἔτι τῶν ἐπὶ τῆς διαμέτρου, οὔτε τῶν ἐκτὸς τῆς διαμέτρου.

κς.

Ἐν τοῖς κοίλοις ἐσόπτροις, ἐὰν ἐπὶ τῆς διαμέτρου τεθῇ τὰ ὄμματα, ἴσον ἀπέχοντα τοῦ κέντρου: οὐδέτερον τῶν ὀμμάτων ὀφθήσεται.

Ἔστω κοῖλον ἔσοπτρον τὸ αγδ, διάμετρος δὲ ἡ αδ, κέντρον δὲ τὸ

flectentibus uisibus, nisi ab unico eo qui per centrum transit.

Vigesima quinta.

In speculis cauis si diametrũ sphæræ extendendo producas ex cẽtro ad angulos rectos, & ex altera parte oculũ posueris, nihil earũ rerum uidebitur, quæ ex ea sunt parte in qua oculus est collocatus, hoc est, neque id quod in diametro sphæræ, neque id quod extra eam fuerit collocatum.

Sit cauum speculum αγδ, αδ uero sit diameter sphæræ, centrum autem ζ, & à centro ζ rectæ α, δ ducantur ad angulos rectos ζγ. oculus uero sit β, uisus autem βε: βε igitur reflexum faciens non perueniet neq; ad β, neque ad ζ: nam in angulis æqualibus reflectitur. pertransibit igitur ut εθ. Similiter si intra oculus collocetur ubi θ est, aut in diametro ubi μ, uisus θκ, μν reflectentes pertransibunt ut κλ, νξ. Nihil igitur earum rerum, quæ ex parte ea, in qua collocatus est oculus uidebitur. neque quicquam rerum quæ in diametro, neq; extra diametrũ sunt.

Vigesima sexta.

Si in speculis cauis, oculi in ipsa diametro constituti fuerint: æqualiter distantes à centro, neutrum oculorum uidebitur.


Sit cauum speculum αγδ, diameter uero αδ, centrum autem ζ, ad angulos

ζ: πρὸς ὀρθὰς δὲ ἡ ζ γ. ὄμματα δὲ τὰ β, ε ἴσον ἀπέχοντα τοῦ ζ κέντρου, ὄψις δὲ ἡ ϐ γ. οὐκοῦν ἀνακλωμένη, ἥξει ἐπὶ τὸ ε, ἐν ἴσαις γὰρ γωνίαις ἀνακλᾶται. ἄλλη δὲ οὐδεμία ἥξει ὡς ἡ β θ. ἐπεζεύχθωσαν αἱ θ, ζ. δίχα ἄρα τμηθήσεται ἡ ὑπὸ β θ ε γωνία, ὑπὸ τῆς ζ θ εὐθείας, καὶ ἀνάλογον ἔσται ὡς ἡ ϐ θ πρὸς τὴν θ ε, ἡ β ζ πρὸς τὴν ζ ε. ὅπερ ἀδύνατον ἡ μὲν γὰρ ϐ θ, μείζων ἐστὶ τῆς θ ε, ἡ δὲ β ζ, ἴση τῇ ζ ε. οὐδεμία ἄρα ἥξει ἀνακλωμένη ἀπὸ τοῦ β, ἐπὶ τὸ α. μία ἄρα ὄψις ἀνακλασθήσεται ἐφ' ἑκατέρου τῶν β, ε ὀμμάτων: καὶ οὐκ ὀφθήσεται τὸ ε, οὐ γὰρ συμπεσεῖται ἡ ϐ γ ἐκβαλλομένη, τῇ β δ, ἐπὶ τὰ γ, δ μέρη. ἐφαίνετο δὲ ἑκάτερον κατὰ τὴν συμβολὴν μόνον τῶν ὁρωμένων. οὐδὲ ἡ ε γ ἐκβαλλομένη οὐ μὴ συμπεσεῖ τῇ ε α, ἐπὶ τὰ γ α μέρη. ἐν τοῖς κοίλοις ἐνόπτροις ἕκαστον τῶν ὁρωμένων κατὰ τὴν ἀπὸ τοῦ ὁρωμένου, εἰς τὸ κέντρον τῆς σφαίρας ἀγομένην εὐθεῖαν ὁρᾶται.

κζ.

Ἐν τοῖς κοίλοις ἐνόπτροις, ἐὰν τὴν ἐκ τοῦ κέντρου πρὸς ὀρθὰς οὖσαν τῇ διαμέτρῳ δίχα τεμὼν, καὶ πρὸς ὀρθὰς ἀγαγὼν εὐθεῖαν, θῇς τὰ ὄμματα μεταξὺ τῆς τε διαχθείσης καὶ τοῦ κέντρου, ἴσον ἀπέχοντα τῆς ἐκ τοῦ κέντρου, ἢ ἐπ' αὐτῆς τῆς διαχθείσης: οὐδέτερον τῶν ὀμμάτων φανεῖται.

gulos etiam rectos ipsa ζ γ, oculi prę terea β ε, æqualiter distantes à centro ζ. uisus etiam ϐ γ. Quod si igitur reflexum faciat, perueniet in ε. Nam in angulis ęqualibus reflectitur. nulla autem præterea alia sic transibit ut ϐ θ. coniungantur θ, ζ puncta: & fiat recta θ ζ.



Angulus igitur ϐ θ ε, in duas secabitur partes æquales per lineam ζ θ. & quæ proportio est β θ, ad θ ε, ea est ϐ ζ, ad ζ ε: quod fieri non potest. Nam ϐ θ, maior est quam sit θ ε. β ζ uero, est æqualis ζ ε. Nullus igitur uisus reflexum habens ab ϐ, ueniet in ε. Vnus igitur tantum uisus in utrunque oculũ ϐ, ε reflectetur, neque ε uidebitur. Nam ϐ γ non coincidit cum ϐ δ, si extendatur ad γ, δ partes, in concursu uero apparebit utrunque quod uidetur, neque ε γ si extendatur incidet cum ε α in partes γ, α. Nam in cauis speculis quæque res uisa, uidetur per rectam lineam, quæ à reuisa per centrum sphęræ ducitur.

Vicesimaseptima.

Si in speculis cauis, rectam quę ex centro ad angulos rectos diametro ducta est, in duas secaueris partes æquales, & ad angulos rectos duxeris lineam rectam, collocesque oculos inter rectam quę ducta est, & centrum: ita ut æqualiter distēt à recta quæ per centrum ducta est, aut in ipsa ducta linea recta; neutrũ oculorũ uidebit.

Sit

Ἔστω κοῖλον ἔνοπτρον τὸ α γ δ, διάμετρος δὲ ἡ α δ, κέντρον δὲ τὸ κ, καὶ πρὸς ὀρθὰς τῇ α δ ἡ κ γ, καὶ τετμήσθω ἡ γ κ δίχα κατὰ τὸ π, καὶ διὰ τοῦ π, διήχθω τῇ κ γ πρὸς ὀρθὰς ἡ ε π ζ, καὶ ὄμματα τὰ β, θ μεταξὺ κείσθω τῆς τε ε ζ, καὶ τοῦ κ κέντρου, ἐν παραλλήλοις ταῖς ε, ζ ἴσον ἀπέχοντα τῆς κ γ. ὄψις δὲ ἔστω ἡ β γ, ἀνακλωμένη ἐπὶ τὸ θ. ἴσας γὰρ ποιεῖ γωνίας πρὸς τῇ περιφερείᾳ. διὰ τὸ παράλληλον εἶναι τὴν ζ ε, τῇ β θ, καὶ ἴσην τὴν β γ, τῇ γ θ. καὶ ἐπεζεύχθωσαν αἱ κ β, κ θ ἐκβεβλήσθωσαν. ἐκβεβλήσθω δὲ καὶ ἡ β γ, ἐπὶ τὸ φ, καὶ ἐπεὶ μείζων ἐστὶν ἡ β γ, τῆς β κ, μείζων ἐστὶν ἡ ὑπὸ γ β θ, τῆς ὑπὸ κ β θ: ὥστε καὶ ἡ ὑπὸ β θ γ, τῆς ὑπὸ κ β θ, τουτέστι τῆς ὑπὸ κ θ β μείζων ἐστίν. οὐκ ἄρα συμπεσεῖται ἡ β γ, τῇ κ θ. οὐκ ἄρα ὀφθήσεται τὸ θ. κατὰ γὰρ τὴν συμβολὴν φαίνεται τῶν β γ, κ θ.

Ἔστω δὴ πάλιν τὰ αὐτὰ τοῖς ἐπάνω τὰ δὲ β, θ ὄμματα ἔστωσαν ἐπὶ τῆς δίχα καὶ πρὸς ὀρθὰς τεμνούσης τὴν ἐκ τοῦ κέντρου, τῆς α δ. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ μὲν β γ, τῇ β ζ: ἡ δὲ γ θ, τῇ γ ζ. παράλληλος ἂν εἴη ἡ β γ, τῇ ζ θ. οὐκ ἄρα συμπεσεῖται ἡ β γ ὄψις, τῇ ἐκ τοῦ κέντρου ἐπὶ τὸ ὁρώμενον. τουτέστι τῇ ζ θ, ἐπὶ τὰ θ γ μέρη. ὥστε οὐ φαίνεται τὸ θ ὄμμα. κα-

Sit speculum cauum α γ δ, diameter uero α δ, centrum autē κ, & recta κ γ, statuatur ad angulos rectos lineæ α δ, & κ γ, secetur in duas partes ęquales in puncto π, & per punctum π ducatur linea recta ε π ζ, lineæ γ κ ad angulos rectos & oculi β, θ sint inter ε ζ, et κ centrum positi, in lineis æquedistātibus ε, ζ, æqualiter distantes à κ γ. Sit uero præterea uisus β γ reflexum habens in θ. Nam facit angulos ęquales ad circumferentiam, quoniam ζ ε æquedistat β θ, & β γ est æqualis γ θ, & κ β, κ θ coniunctæ extendantur. sic etiam extendantur β γ, ad φ: & quoniam maior est β γ, quam sit β κ: maior etiā est angulus γ β θ angulo κ β θ. Itaque β θ γ angulus, maior est angulo κ β θ; hoc est κ θ β angulo. Ergo β γ, non concurrit cum κ θ. Quare θ, nō uidebitur: nam in concursu β γ, κ θ uidetur.


Rursus eadem posita sint ut supra, sed β θ oculi sint cōstituti in recta α δ, quæ in duas partes æquales, & ad angulos rectos secat lineam rectam quæ ex centro ducitur. Quoniam igitur β γ, æqualis est β ζ, & γ θ æqualis γ ζ, β γ ęquedistabit lineæ ζ θ. Ergo β γ uisus, non coincidit cum recta quæ ex centro ducitur ad rem uisam: hoc est ζ θ in partes θ, γ. Itaque θ oculus non appa-

appa-

τὰ γὰρ τῷ συμβολῷ ἐφαίνετο τῶν β γ, ζ θ.

Ἔστω πάλιν τὰ αὐτά, τῆς δὲ διχοτομίας ἀνωτέρω κείσθω τὰ ὄμματα τὰ β, γ, ἴσον ἀπέχοντα τῆς ἐκ τοῦ κέντρου τῆς ζ α. φημὶ δὴ φαίνεσθαι τὰ β, γ, καὶ δεξιὰ ἀριστερά, καὶ τὰ ἀριστερὰ δεξιά, καὶ τὸ εἴδωλον τοῦ ἐνόπτρου μεῖζον τοῦ ἀποστήματος οὗ ἀπέχει τὸ πρόσωπον.

Ἔστω γὰρ ἡ β α ὄψις ἀνακλωμένη, καὶ ἐπεζεύχθωσαν ἀπὸ τοῦ κέντρου ἐπὶ τὰ β, γ, αἱ ζ β, ζ γ. καὶ ἐκβεβλήσθω ἡ β α. Ἐπεὶ οὖν διχοτομία ἐστὶ τὸ η, μείζων ἐστὶν ἡ ζ β, τῆς β α. καὶ ἡ ὑπὸ β α ζ γωνία, τῆς ὑπὸ β ζ α, ἴση δὲ τῇ μὲν ὑπὸ β α ζ, ἡ ὑπὸ γ α ζ. τῇ δὲ ὑπὸ β ζ α, ἡ ὑπὸ γ ζ α. ὅλη ἄρα ἡ ὑπὸ β α γ, ὅλης τῆς ὑπὸ β ζ γ μείζων ἐστί. συμπεσοῦνται ἄρα αἱ ζ β, γ α ἐκβληθεῖσαι, συμπιπτέτωσαν κατὰ τὸ π. διὰ τὰ αὐτὰ δὴ καὶ αἱ β α, ζ γ, συμπεσοῦνται κατὰ τὸ θ. ὀφθήσεται ἄρα τὸ μὲν γ, ἐπὶ τοῦ θ· τὸ δὲ β, ἐπὶ τοῦ π. καὶ φαίνεται τὰ μὲν δεξιὰ ἀριστερά, τὰ δὲ ἀριστερὰ δεξιά. ἀλλὰ μὴν καὶ μείζων ἡ π θ, τῆς β γ, παράλληλοι γάρ εἰσι. τὸ ἄρα εἴδωλον φαίνεται μεῖζον, καὶ μεῖζον ἀπέχον τοῦ ἐνόπτρου. μείζων γὰρ ἡ μ α τῆς α λ.



apparet, nam in concurſu apparebat linearum β γ, ζ θ.

Rurſus eadē ſic ſint propoſita, uerum β, γ oculi collocentur ſupra ſectionem, quæ fit in partes æquales, æqualiter diſtantes à recta ζ α, quæ ex centro ducta eſt. Dico quod β, γ appareant, & dextra ſiniſtra, & ſiniſtra dextra, & imago maior appareat quam res ſeu perſona cuius eſt imago, & diſtantia qua imago diſtat à ſpeculo maior eſt diſtãtia, qua res ipſa diſtat.

Sit enim β α uiſus, reflexũ faciens & à cētro ζ, ad β, γ ducãtur rectæ ζ β, ζ γ, atq; β α extēdatur. Quoniam igitur in puncto η eſt facta ipſa ſectio in duas partes æquales: ζ β maior eſt quam ſit β α: & angulus β α ζ, maior eſt angulo β ζ α, uerum angulo β α ζ, æqualis eſt angulus γ α ζ, angulo uero β ζ α, ęqualis eſt augulus γ ζ α. totus igitur angulus β α γ, maior eſt, toti angulo β ζ γ. Quare ζ β, γ α ſi extendantur, concurrent. ſit ille concurſus in puncto π. ſimiliter iiſdem rationibus demonſtratur quod β α, ζ γ in puncto θ concurrant. Quare γ, uidebitur ad θ, & β, ad π. & dextera apparent eſſe ſiniſtra, & ſiniſtra dextra. Verũm π θ, maior eſt β γ. Sunt enim æquediſtantes. Quare imago & maior, & longius à ſpeculo diſtare uidetur. Nam μ α maior eſt α λ.

κη.

Ἐὰν δ' ἔξω τῆς διαμέτρου τεθῇ τὰ ὄμματα, τὰ δεξιὰ δεξιὰ φαίνεται, καὶ τὰ ἀριστερὰ ἀριστερά, καὶ τὸ εἴδωλον ἔλασσον τοῦ προσώπου, καὶ ἐν τῷ ἀνὰ μέσον τοῦ προσώπου καὶ τοῦ ἐνόπτρου.

Ἔστω γὰρ ὄμματα τὰ β, γ κέντρον δὲ τοῦ ἐνόπτρου τὸ ζ. καὶ τῇ διαμέτρῳ πρὸς ὀρθὰς ἔστω ἡ αζδ, καὶ ταύτῃ πρὸς ὀρθὰς ἡ βγ, καὶ τῇ βα ἴση ἔστω ἡ αγ, καὶ ὄψεις ἀνακλώμεναι ἐπὶ τὸ γ, καὶ διὰ τοῦ κέντρου αἱ βζκ, γζε, καὶ ἐπεζεύχθω ἡ εκ. οὐκοῦν τὸ μὲν γ, ἐπὶ τοῦ κ φαίνεται, τὸ δὲ β, ἐπὶ τοῦ ε. τὰ ἄρα δεξιὰ δεξιὰ φαίνεται, καὶ τὰ ἀριστερὰ ἀριστερὰ καὶ τὸ εκ εἴδωλον ἔλασσον τοῦ βγ προσώπου. παράλληλος γάρ ἐστιν ἡ εκ, τῇ βγ. καὶ ἀνὰ μέσον τοῦ ἐνόπτρου καὶ τοῦ προσώπου φαίνεται τὸ εἴδωλον. ἀναγομένου δὲ τοῦ προσώπου, ἔτι ἔλασσον φαίνεται τὸ εἴδωλον. ἔστω γὰρ τὸ μν πρόσωπον, τὸ αὐτὸ τῷ βγ. ἀφεστηκὸς ἀπὸ τοῦ βγ καὶ κείμενον ὁμοίως. οὐκοῦν ἡ ἀπὸ τοῦ μ, ἐπὶ τὸ ζ κέντρον ἐπιζευχθεῖσα. καὶ ἐκβληθεῖσα, ἀνώτερον πεσεῖται τοῦ κ, ἕως τοῦ λ. ἡ δὲ ἀπὸ τοῦ ν, ἐπὶ τὸ ζ. ἀνώτερον τοῦ ε, ἕως τοῦ κ, ἕως τοῦ θ. καὶ ἐπεζεύχθω ἡ θλ. φαίνεται ἄρα τὰ μ, ν, κατὰ τὰ θ, λ

Vicesima octaua.

Si extra diametrum oculi sint collocati, dextera apparebunt dextera, & sinistra sinistra, & imago minor est eo cuius est imago, atque in loco, qui medius est inter rem uisam & speculũ apparet.

Sint enim oculi β, γ, speculi uero centrum ζ, & diametro ad angulos rectos collocetur αζδ, & huic constituatur βγ, ad angulos rectos, & βα, sit æqualis αγ, & uisus βζκ, γζε, reflexionem faciant ad γ, & per centrum ducantur, prẹterea coniungãtur puncta ε, κ, fiatque recta εκ. Videbitur igitur γ, ad κ: & β, ad ε: dextera igitur dextera, & sinistra apparent sinistra, & imago εκ, minor est quã sit res uisa βγ. Nam ipsa εκ, est æquedistans lineæ βγ, & supra medium speculi atq; rei uisæ apparet imago: quod si res uisa altius extollatur, imago longe minor uidebitur. Sit enim μν, res uisa seu persona, eadem cũ βγ: distans aliquo interuallo à βγ, & similiter sita. Recta igitur ducta ab μ, ad centrũ ζ, & protensa, cadet supra κ, paulo altius usq; ad λ. recta uero quæ ab ν ad ζ ducitur, altior erit quam ε, usque ad κ, usq; ad θ. coniungantur puncta θ, λ. & fiat recta

cta

καὶ δεῖν ἐλάσσον καὶ τὸ θλ, τοῦ κα καὶ ἔγγιον τοῦ ἐνόπτρου.

κθ.

Δυνατὸν δεῖν ἔνοπτρον κατασκευασθῆναι ὥστε ἐν τῷ αὐτῷ φαίνεσθαι πλείω πρόσωπα τὰ μὲν μείζονα, τὰ δὲ ἐλάσσονα· καὶ τὰ μὲν ἔγγιον τὰ δὲ πορρώτερον, καὶ τῶν μὲν τὰ δεξιὰ δεξιά, τὰ δὲ ἀριστερὰ, ἀριστερά· τῶν δὲ τὰ δεξιὰ ἀριστερά, τὰ δὲ ἀριστερὰ, δεξιά.


Ἔστω γὰρ ἐπίπεδον τὸ αμ καὶ ἐν τούτῳ γενέσθω κοῖλα μὲν ἔνοπτρα,

cta θλ, Ergo μν, in θλ apparet, & θλ, minor eſt ικ: & propior ſpeculo.

Viceſimanona.

Speculum cõfici poteſt in quo plu res res ſeu perſonæ uideantur, quædam maiores, quædam minores: aliæ propiores, alię longius diſtantes: nõnullę quę dextrę ſunt dextrę, ſiniſtrę uero appareãt ſiniſtrę: pręter has alię quæ ſunt dextræ appareant ſiniſtræ, quæ ſunt ſiniſtræ appareant dextræ.

Sit enim plana ſuperficies αμ, & in illa fiant ſpecula caua αορ, θξκ, conue



οἷα τὰ αορ, θξκ, κυρτὰ δὲ, οἷα τὰ γδε, ζκθ. ἐπίπεδα δὲ, οἷα τὰ εζ, κμ, τεθέντος οὖν τοῦ προσώπου ἄνωθεν τοῦ κ, φαίνεται ἀπὸ μὲν τῶν ἐπιπέδων ἴσα τὰ εἴδωλα, καὶ ἴσον ἀπέχοντα· ἀπὸ δὲ τῶν κυρτῶν ἐλάσσονα, καὶ ἔλασσον ἀπέχοντα· ἀπὸ δὲ τῶν κοίλων παντοδαπῶς, καθάπερ δέδεικται.

λ.

Ἐκ τῶν κοίλων ἐνόπτρων πρὸς τὸν ἥλιον τεθέντων, πῦρ ἐξάπτεται.

Ἔστω κοῖλον ἔνοπτρον τὸ αβγ. ἥλιος δὲ ὁ εζ, κέντρον δὲ τοῦ κατό-

xa uero γδε, ζκθ. plana autem εζ, κμ. Quod ſi igitur perſona ſtet ſuperiore loco quam ſit κ, imagines in planis ſpeculis uidebimus æquales, & ęqualiter diſtantes, ex conuexis uero ſpeculis minores & minori interuallo diſtantes. ex cauis uero omnimode ut demonſtratum eſt.

Triceſima.

Si ad Solem exponantur ſpecula caua: ex ipſis ignis incendetur.


Sit cauum ſpeculum αβγ, Sol autẽ εζ, centrum ſpeculi θ, & ab aliquo pũ


πρὸ τοῦ θ: καὶ ἀπό τινος σημείου τοῦ δ, ἐπιζευχθεῖσα μετὰ τὸ θ κέντρον, ἡ δθ ἐκβεβλήσθω ἐπὶ τὸ β: προσπιπτέτω δὲ ἡ δγ ἀκτὶς, καὶ ἀνακεκλάσθω ἐπὶ τὸ κ, ἀνακλασθήσεται δὴ ἐπάνω τοῦ θ κέντρου. ἡ γὰρ π γωνία, ἡ πρὸς τῇ περιφερείᾳ ἐλάσσων ἐστὶ, τῆς πρὸς τῇ περιφερείᾳ λοιπῆς, τῆς ὑπὸ β γ δ. καὶ ἔστω τῇ αβ περιφερείᾳ ἴση ἡ β γ. καὶ ἀπὸ τοῦ δ ἄλλη τις ἀκτὶς προσπιπτέτω ἡ δα, φανερὸν οὖν ὅτι ἀνακλωμένη ἡ δα ἀκτὶς πεσεῖται ἐπὶ τὸ κ, διὰ τὸ ἴσην εἶναι τὴν β περιφέρειαν, τῇ β γ. ὁμοίως δὲ δειχθήσεται, ὅτι πᾶσαι αἱ ἀπὸ τοῦ δ προσπίπτουσαι ἀκτῖνες πρὸς τὸ ἔσοπτρον, καὶ ἴσας περιφερείας ἀπολαμβάνουσαι ἑκατέρωθεν τοῦ β. εἰς τὸ αὐτὸ συμπεσοῦνται, τῇ β θ ἀνώτερον τοῦ ἐσόπτρου.

Ἔστω πάλιν κοῖλον ἔσοπτρον τὸ αβγ, ἥλιος δὲ ὁ δεζ, καὶ ἀπό τινος σημείου τοῦ ε, διὰ τοῦ θ κέντρου ἔστω θ β, καὶ ἀπ' ἀλλήλων τῶν δ, ζ, αἱ δθγ, ζθα. οὐκ οὖν προεδείχαμεν ὅτι αἱ ἀπὸ τοῦ ε ἀκτῖνες συμπεσοῦνται, εἰς ἑαυτὰς, διὰ τὰς

cto δ, ad centrũ θ, ducatur recta linea δθ, extendaturq; ad β. Radius uero δγ incidat, & reflectatur ad κ. reflectio igitur fiet supra centrum θ. angulus enim π, ad circumferentiam positus, minor est reliquo angulo βγδ, ad circumferentiam sito. & fiat circumferentiæ αβ æqualis circumferentia βγ, & à δ, alius radius incidat in δα. manifestum igitur, quod radius δα reflectens cadet in κ, quoniam β circumferentia æqualis est circumferentiæ βγ. Similiter demonstrabitur quod omnes radii à δ ad speculum cadentes, et ęquales circumferentias intercipientes: ex utraque parte ipsius β, in idem coincident ipsi βθ supra θ.

Sit rursus cauum speculum αβγ, Sol uero εζ, & ab aliquo puncto ε per centrum θ, sit θβ recta ducta & δζ ab aliis ducantur δθγ, ζθα. prædemonstratum igitur est antea, quod radii uenientes ab ε, in sese incidunt propter angulos π, ς qui æquales sunt.


Radii



π, ϛ γωνίας ἴσας· αἱ δὲ ἀπὸ τοῦ ζ διὰ τὰς πρὸς τῷ α γωνίας ἴσας οὔσας ὁμοίως ἀλλήλαις. αἱ δὲ ἀπὸ τοῦ δ, διὰ τὰς πρὸς τῷ γ γωνίας. διάμετροι γάρ εἰσι πᾶσαι. ὅτι δὲ πᾶσαι αὗται εἰς ἑαυτὰς ἀνακλῶνται δῆλον. διὰ γὰρ τοῦ κέντρου οὖσαι ἡμικύκλιον ποιοῦσιν. αἱ δὲ τῶν ἡμικυκλίων γωνίαι αἱ γινόμεναι πρὸς τοῖς πέρασι τῶν διαμέτρων, καὶ τῶν περιφερειῶν ἴσαι εἰσί. δι' ἴσων ἄρα γωνιῶν αἱ ἀνακλάσεις γίνονται, καὶ διὰ τοῦτο καὶ εἰς ἑαυτὰς ἀνακλῶνται. πᾶσαι ἄρα συμπεσοῦνται ἀπὸ πάντων τῶν σημείων ἐπὶ τὰς διὰ τοῦ κέντρου, καὶ ἐν τῷ κέντρῳ ἀκτῖνες. τούτων οὖν τῶν ἀκτίνων ἐθερμαινομένων περὶ τὸ κέντρον πῦρ ἀθροίζεται. ὥστε ἐνταῦθα ϛυππίον τεθὲν ἐξαφθήσεται.

ΤΕΛΟΣ.

Radii uero ex puncto ζ, propterea quod anguli ad α, ſint æquales, ſimili modo in ſeſe recident. radii uero à δ, per angulos qui ſũt ad γ, omnes enim ſunt diametri. Manifeſtum autem eſt quod omnes in ſeipſos reflectantur: cum enim per centrum ductæ ſint ad circumferẽtiam ſemicirculũ faciunt. Anguli uero ſemicirculorum qui fiũt ad extrema diametrorum & circumferentiarum ęquales ſunt. Reflexiones igitur fiunt per æquales angulos & propterea in ſeſe reflectũtur. Omnes igitur radii ab omnibus punctis ad rectas quæ per centrũ & in centro ſunt concurrunt. His igitur radiis excalefactis, ignis circa centrum conglobatur; itaque ſi ad centrum apponatur ſtupa incendetur.

Finis.



ERRATA.

A iii facie ſecunda, in quibuſdam exemplaribus amorem, lege auctorem. In definitione prima ἐϖιπροσθεῖ. lege ἐπιπροσθεῖ. In propoſitionis primę parte ſecunda iuxta figuram ſecundam κ̄ε θ lege ε̄ κ θ, & poſtea ζ λ lege ζ κ λ. Figuram uero facile ſic corriges. ad lineam β̄ κ colloca θ: ad lineam δ̄ κ λ. ᾱ uero in ſiniſtram inferioris circuli extremam partem: γ autẽ dextram: & paulo ſupra ᾱ intra circulum, ε: paulo ſupra γ̄, literam ζ. B. propoſitione ſecunda reflexu. lege reflexũ. ἀφ' ἑαυτῆς) ἐφ' ἑαυτῆς. Propoſitione decimatertia γ σ, lege γ β. D. propoſitione uigeſima coniungat, lege contingat. Quæ præterea corrigenda erunt, quiuis ſua induſtria emendare facillime poterit.